2. Ὁρᾷς γὰρ εὐθὺς ὡς ἄτοπος ὁ λέγων τὸ φαινόμενον εἶδος ἐν τῇ σελήνῃ πάθος εἶναι τῆς ὄψεως ὑπεικούσης τῇ λαμπρότητι δι᾿ ἀσθένειαν, ὃ ⟨μαρμαρυγὴν⟩ καλοῦμεν, οὐ συνορῶν ὅτι πρὸς τὸν ἥλιον ἔδει τοῦτο γίνεσθαι μᾶλλον ὀξὺν ἀπαντῶντα καὶ πλήκτην — ὥς που καὶ Ἐμπεδοκλῆς τὴν ἑκατέρων ἀποδίδωσιν οὐκ ἀηδῶς διαφοράν (B 40)

'Ἥλιος ὀξυβελὴς ἠδ᾿ ἱλάειρα Σελήνη,'

D τὸ ἐπαγωγὸν αὐτῆς καὶ ἱλαρὸν καὶ ἄλυπον οὕτως προσαγορεύσας —, ἔπειτα λόγον ἀποδιδούς, καθ᾿ ὃν αἱ ἀμυδραὶ καὶ ἀσθενεῖς ὄψεις οὐδεμίαν διαφορὰν ἐν τῇ σελήνῃ μορφῆς ἐνορῶσιν, ἀλλὰ λεῖος αὐταῖς ἀντιλάμπει καὶ περίπλεως αὐτῆς ὁ κύκλος, οἱ δ᾿ ὀξὺ καὶ σφοδρὸν ὁρῶντες ἐξακριβοῦσι μᾶλλον καὶ διαστέλλουσιν ἐκτυπούμενα τὰ εἴδη τοῦ προσώπου καὶ τῆς διαφορᾶς ἅπτονται σαφέστερον· ἔδει γὰρ οἶμαι τοὐναντίον, εἴπερ ἡττωμένου πά⟨θος⟩ ὄμματος ἐποίει τὴν φαντασίαν, ὅπου τὸ πάσχον ἀσθενέστερον, ⟨σαφέστερον⟩ εἶναι τὸ φαινόμενον. ἡ δ᾿ ἀνωμαλία καὶ παντάπασιν ἐλέγχει τὸν λόγον· οὐ γάρ ἐστι
E συνεχοῦς σκιᾶς καὶ συγκεχυμένης ὄψις, ἀλλ᾿ οὐ φαύλως ὑπογράφων ὁ Ἀγησιάναξ εἴρηκε (fr. 1 Powell An. Alex.)

'πᾶσα μὲν ἥδε πέριξ πυρὶ λάμπεται, ἐν δ᾿ ἄρα μέσσῃ
γλαυκότερον κυάνοιο φαείνεται ἠύτε κούρης
ὄμμα καὶ ὑγρὰ μέτωπα· τὰ δὲ ῥέθει ἄντα ἔοικεν·'

ὄντως γὰρ ὑποδύεται περιόντα τοῖς λαμπροῖς τὰ σκιερὰ καὶ πιέζει ⟨πιεζόμενα⟩ πάλιν ὑπ᾿ αὐτῶν καὶ ἀποκοπτό-